## *Διορθώσεις εἰς τὰ* Actes de Zographou.

(*Βυζαντ. Χρον. Παράρτ. ΙΓ´ τόμου*, 1907.)

10, 8: *μεγάλως γὰρ ἀδικοῦσιν ἡμᾶς εἰς τὰ δίκαια τοῦ ἡμετέρου ἀγροῦ τοῦ Καλιγράου καὶ διὰ τοῦ τοιούτου μέλλει συμβῇ ἐν τῷ μέσῳ ἡμῶν καὶ Νίφωνος ⟨φόνος⟩, διότι καὶ σπαθία καὶ τόξα ἔσυραν καθ᾽ ἡμῶν καὶ καθ᾽ ἑκάστην οὐ παύονται τὰς τοιαύτας ὀχλήσεις ποιοῦντες.*

*Ἀνεπλήρωσα τὴν ἐκρυεῖσαν λέξιν φόνος.*

10, 17: *συγκαλέσαντες καὶ τοὺς εἰδήμονας καὶ ἀξιοπίστους γέροντας . . . τηρήσουσιν ἐπὶ τόπους τῶν ἀμφοτέρων τὰ σύνορα καὶ ἀποκαταστήσουσιν αὐτοὺς εἰς τὰ ἀρχαῖα δίκαια αὐτῶν, ὡς εἴχασιν ἔκπαλαι τῶν ἡμερῶν. ἀπήγαμεν δὲ ἐπὶ τὸ ποιῶς ἐξ ἀποστολῆς τοῦ ἁγίου πατρὸς ἡμῶν καὶ Πρώτου καὶ . . . ἐξετάσαμεν ἀκριβῶς τὰ ἀμφότερα μέρη.*

*Τὰ ἀδιανόητα ἐπὶ τὸ ποιῶς διόρθωσον ἐπιτοπίως.*

21, 76: *ὡς οὖν περὶ τοῦ τῆς Λούστρας χωραφίου ἔτι οἱ Λαυριῶται ἀνθίσταντο, καὶ πρὸς τὴν ἁγίαν ἐκκλησίαν τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης καὶ ἄμφω τὰ μέρη τῶν μοναχῶν ὁ σεβαστοκράτωρ ἀπέστειλεν, ὡς καὶ τὴν περὶ τοῦ τῆς Λούστρας χωραφίου λάβοι ἐντέλειαν.*

*Ὀρθὸν εἶναι τὸ ἐν τῷ χειρογράφῳ κείμενον τὰ (ἀντὶ τοῦ τὴν)·* damit auch die Angelegenheit des Landgutes von Lustra ein Ende nehme.

25, 19: *μὴ εἰς ἀπρεπεῖς τινας ἐνεργείας χρήσηται αὐτοῖς ὁ ἐξωνησόμενος, καπηλείου δηλονότι ἐνέργειαν ἢ ἄλλου τινὸς τῶν ἀσέμνων καὶ ἀνεικέων τῇ ἐκκλησίᾳ.*

*Τὸ τοῦ χειρογράφου ἀνηκαίων μεταγράφω ἐγὼ ἀνοικείων.*

84, 29: *ἡ Λοντζιάνη ποτὲ κτῆμα ἦν τῆς τοιαύτης μονῆς τοῦ Καρακαλᾶ, ὑπὸ δέ γε τῶν κατὰ τοὺς τότε καιροὺς προβασῶν καὶ ἐκ τῶν ἀνωμαλιῶν τε καὶ συγχύσεων ἐκ τῆς τῶν Ἰταλῶν τυραννίδος εἰς ἐρήμωσιν παντελῆ καταντήσασα καὶ μικροῦ δεῖν εἰς ἀφανισμὸν ἡ τοιαύτη μονὴ . . . ἀπώλεσε καὶ τὰ προσόντα ταύτῃ χαρτῷα δικαιώματα.*

*Ἀντὶ τοῦ προβασῶν εἰκάζω τὸ ὑπερβασιῶν.*

100, 67: *οὐ δέχομαι τὸ τῆς μαρτυρίας γράμμα, ὅτι ⟨οὐκ⟩ ἔστιν ἀληθές· εἰ δὲ καὶ ἔστιν, ἀλλ᾽ οὐχ ὡς οἱ νόμοι διαγορεύουσι γέγονε.*

*Τοῦ ἀναπληρωθέντος οὐκ οὐδεμία ἀνάγκη, ἀποβλητέα δὲ ἡ μετὰ*

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/3/15 12:33 PM

*τὸ γράμμα ὑποστιγμή: = οὐ δέχομαι ὅτι τὸ τῆς μαρτυρίας γράμμα ἐστιν ἀληθές.*

108, 10: *ὑφ' οἷον δήποτε τῶν δύο μονῶν ὁ τοιοῦτος μύλων ἐτύγχανεν.*

*Γράψον οἷαν.*

127, 32: *πάντες οἰκείᾳ χειρὶ σημάναντες κάτισθεν τὰ ὀνόματα.*

*Διορθωτέον κάτωθεν.*

130, 1: *ἡ μετριότης ἡμῶν τὴν προστασίαν τῆς καθολικῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας ἐγχειρισθεῖσα παρὰ Θεοῦ ἀνάγκην ἔχει διὰ τὴν ἐπιταγὴν τοῦ Κυρίου πάσας τὰς ἐπ' αὐτὴν τελούσας ἁγιωτάτας ἐπισκοπάς τε καὶ μητροπόλεις ἐφορᾶν καὶ ἐπισκέπτεσθαι πνευματικῶς.*

*Ἀντὶ τοῦ ἐπ' γραπτέον τὸ ὑπ'· πβ.* 83, 17: *„ἔχειν μὲν οὖν πρὸς ἀλλήλους πάντας τοὺς ὑπ' αὐτὴν ἡ βασιλεία μου τοῦτο θεσπίζει"*.

134, 47: *εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγεγόνει καὶ τὸ παρὸν συνοδικὸν καὶ ἀποφασιστικὸν γράμμα παρὰ τῆς ἡμῶν μετριότητος καὶ ἀπεδόθη εἰς χεῖρας τοῦ ῥηθέντος πανιερωτάτου μητροπολίτου.*

*Γραπτέον ἐπεδόθη·* 104, 18 *„τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα ἐπεδόθη πρὸς τὴν διαληφθεῖσαν σεβασμίαν βασιλικὴν μονήν"*, 120, 37 *„ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον γράμμα . . . ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ"*, 126, 179 *„τὸ παρὸν ἡμῶν . . . ἐπεδόθη τῇ . . . μονῇ"*.

137, 93: *ὁμοίως δὲ δίδομεν αὐτῷ ἐξουσίαν κρίνειν ἅπαντας τοὺς τοῦ ἱερατικοῦ κλήρου καὶ τὰ δόξαντα αὐτῷ κατὰ νόμους ἀποφαίνεσθαι τελέως τε καθαίρειν καὶ συγχωρεῖν ἔν τε εἱρκτῇ ἀσφαλίζειν αὐτοὺς καὶ λαμβάνειν ποινήν τε καὶ πρόστιμον παρ' αὐτῶν.*

*Διόρθωσον καθαιρεῖν.*

138, 115: *διὰ τοῦ παρόντος γράμματος ἤτοι πράξεως βεβαιοῦμεν καὶ ἀποκυροῦμεν τὸν ῥηθέντα ἱερώτατον μητροπολίτην.*

*Γραπτέον ἤτοι τὸ ἀποχυροῦμεν ἢ τὸ ἐπικυροῦμεν.*

144, 17: *ἐπὶ τῷ ἔχειν τὴν μονιμότητα διηνεκῆ καὶ διαιωνιοῦσαν.*

*Τὸ ὀρθὸν διδάσκει* 104, 20 *„δι' ἀσφάλειαν αὐτῶν αἰωνίζουσαν": διαιωνίζουσαν.*

155, 152: *καὶ ἀπὸ τούτων τὰ τρία σημάδια, ἀπὸ πέρα μελεὰς τῆς ἀνατολῆς τοῦ ἡλίου ἢ σα πέρα.*

*Γράφε μερεᾶς καὶ ἴσα.*

*Ἐν Θεσσαλονίκῃ,* 27/9 *Ἰουνίου* 1908.

**Π. Ν. Παπαγεωργίου.**

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/3/15 12:33 PM